λέγω ὅτι οἱ Δ Ε Ζ καὶ οἱ Η Θ Κ ἑξῆς ἀνάλογόν εἰσιν· ὁ μὲν
γὰρ Α τὸν Β πολλαπλασιάσας τὸν Λ ποιείτω· ἑκάτε-
ρος δὲ τῶν Α Β τὸν Λ πολλαπλασιάσας ἑκάτερον
τῶν Μ Ν ποιείτω. καὶ πάλιν ὁ μὲν Β τὸν Γ πολλαπλασι-
άσας τὸν Ξ ποιείτω· ἑκάτερος δὲ τῶν Β Γ τὸν Ξ πολ-
λαπλασιάσας. ἑκάτερον τῶν Ο Π ποιείτω. ὁμοίως δὴ
τοῖς ἐπάνω δείξομεν ὅτι οἱ Δ Λ Ε καὶ οἱ Η Μ Ν Θ ἑξῆς εἰσιν
ἀνάλογον ἐν τῷ τοῦ Α πρὸς τὸν Β λόγῳ· καὶ ἔτι οἱ Ε Ξ Ζ
καὶ οἱ Θ Ο Π Κ ἑξῆς εἰσιν ἀνάλογον ἐν τῷ τοῦ Β πρὸς τὸν Γ
λόγῳ. καὶ ἔστιν ὡς ὁ Α πρὸς τὸν Β, οὕτως ὁ Β πρὸς τὸν Γ·
καὶ οἱ Δ Λ Ε ἄρα τοῖς Ε Ξ Ζ ἐν τῷ αὐτῷ λόγῳ εἰσίν· καὶ
ἔτι οἱ Η Μ Ν Θ τοῖς
Θ Ο Π Κ. καὶ ἔστιν ἴσον
τὸ μὲν τῶν Δ Λ Ε
πλῆθος τῷ τῶν
Ε Ξ Ζ πλήθει· τὸ δὲ
τῶν Η Μ Ν Θ τῷ τῶν
Θ Ο Π Κ· δι' ἴσου ἄρα
ἐστὶν ὡς μὲν ὁ Δ πρὸς
τὸν Ε, οὕτως ὁ Ε πρὸς
τὸν Ζ· ὡς δὲ ὁ Η
πρὸς τὸν Θ, οὕτως ὁ
Θ πρὸς τὸν Κ. ὅπερ ἔδει δεῖξαι:~

ΙΔ Ἐὰν τετράγωνος τετράγωνον μετρῇ, καὶ ἡ πλευρὰ τὴν πλευ-
ρὰν μετρήσει· καὶ ἐὰν ἡ πλευρὰ τὴν πλευρὰν μετρῇ, καὶ
ὁ τετράγωνος τὸν τετράγωνον μετρήσει. ἔστωσαν τετρά-
γωνοι ἀριθμοὶ οἱ Α Β, πλευραὶ δὲ αὐτῶν ἔστωσαν οἱ Γ Δ. ὁ δὲ
Α τὸν Β μετρείτω. λέγω ὅτι καὶ ὁ Γ τὸν Δ μετρεῖ. ὁ Γ γὰρ τὸν Δ
πολλαπλασιάσας τὸν Ε ποιείτω· οἱ Α Ε Β ἄρα ἑξῆς ἀνά-
λογόν εἰσιν ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ λόγῳ. καὶ ἐπεὶ οἱ Α Ε Β
ἑξῆς ἀνάλογόν εἰσιν καὶ μετρεῖ ὁ Α τὸν Β· μετρεῖ ἄρα καὶ ὁ Α
τὸν Ε. καὶ ἔστιν ὡς ὁ Α πρὸς τὸν Ε, οὕτως ὁ Γ πρὸς τὸν Δ·
μετρεῖ ἄρα καὶ ὁ Γ τὸν Δ. ἀλλὰ δὴ μετρείτω ὁ Γ τὸν Δ. λέγω
ὅτι καὶ ὁ Α τὸν Β μετρεῖ. τῶν γὰρ αὐτῶν κατασκευασθέν-
των ὁμοίως δείξομεν ὅτι οἱ Α Ε Β ἑξῆς ἀνάλογόν εἰ-
σιν ἐν τῷ τοῦ Γ πρὸς τὸν Δ λόγῳ. καὶ ἐπεί ἐστιν ὡς ὁ Γ
πρὸς τὸν Δ, οὕτως ὁ Α πρὸς τὸν Ε, μετρεῖ δὲ ὁ Γ τὸν Δ· με-
τρεῖ ἄρα καὶ ὁ Α τὸν Ε.
καὶ εἰσὶν οἱ Α Ε Β ἑξῆς ἀνά-
λογον· μετρεῖ ἄρα καὶ ὁ Α
τὸν Β. ἐὰν ἄρα τετράγω-
νος τετράγωνον μετρῇ,
καὶ ἡ πλευρὰ τὴν πλευ-
ρὰν μετρήσει· καὶ ἐὰν ἡ
πλευρὰ τὴν πλευρὰν
μετρῇ, καὶ ὁ τετράγωνος
τὸν τετράγωνον μετρήσει:~

ΙΕ Ἐὰν κύβος ἀριθμὸς κύβον ἀριθμὸν μετρῇ, καὶ ἡ πλευ-
ρὰ τὴν πλευρὰν μετρήσει· καὶ ἐὰν ἡ πλευρὰ τὴν πλευ-
ρὰν μετρῇ, καὶ ὁ κύβος τὸν κύβον μετρήσει. κύβος γὰρ
ἀριθμὸς ὁ Α κύβον τὸν Β μετρείτω· καὶ τοῦ μὲν Α πλευ-
ρὰ ἔστω ὁ Γ, τοῦ δὲ Β ὁ Δ. λέγω ὅτι ὁ Γ τὸν Δ μετρήσει.

